22 Ιουνίου 2014

# Κανών Παρακλητικός εις πάντας τους εν Άθω Οσίους και Θεοφόρους Πατέρας

/ Γενικά Θέματα



Σύναξις Αγιορειτών Πατέρων 01 (19ος αι)

Ποίημα Γερασίμου Μοναχού Μικραγιαννανίτου.

Ευλογήσαντος του Ιερέως, το Κύριε εισάκουσον, μεθ’ ό

το Θεός Κύριος ως συνήθως, και το εξής:

Ήχος δ’ Ο υψωθείς εν τω Σταυρώ.

Ο Θεοσύλλεκτος και πάντιμος δήμος, των εν τω Άθω θεοφόρων Πατέρων, συν Ιεράρχαις Όσιοι και Μάρτυρες, γνωστοί και ανώνυμοι, εκτενή ικεσίαν, προς Θεόν ποιήσατε, δούναι λύσιν πταισμάτων, και πειρασμών δεινών απαλλαγήν, τοις τη πρεσβεία, υμών καταφεύγουσι.

Δόξα. Το αυτό. Και νύν. Θεοτοκίον.

Ου σιωπήσομεν ποτέ Θεοτόκε, τας δυναστείας σου λαλείν οι ανάξιοι˙ ειμή γαρ συ προΐστασο πρεσβεύουσα, τίς ημάς ερρύσατο, εκ τοσούτων κινδύνων, τίς δε διεφύλαξεν, έως νυν ελευθέρους; ούκ αποστώμεν Δέσποινα εκ σου˙ σους γαρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

Ο Ν’ Ψαλμός και ο κανών ου η ακροστιχίς.

«Οσίων Λόγε λιταίς με σώζοις. Γερασίμου».

Ωδή α’. Ήχος πλ. δ’ Υγράν διοδεύσας.

Οσίων του Άθω ο αρχηγός, και Λαύρας δομήτωρ, Αθανάσιε θαυμαστέ, συν Αθανασίω Πατριάρχη, αθανασίας φωτί με λαμπρύνατε.

Συνέσει αγάπης της ιεράς, Αγάπιε λάμπων, ακακία δε αληθεί, Ακάκιε Όσιε, εμπρέπων, ημάς αγάπη τη θεία πτερώσατε.

Ισχύν Αγαθάγγελε εκ Θεού, συν τω Ακακίω, και σωτήριον αρωγήν, ως Οσιομάρτυρες Κυρίου, ημίν αιτείτε και του αλάστορος.

Θεοτοκίον.

Ως σκέπη του Άθω και προσφυγή, Κεχαριτωμένη, Παντευλόγητε Μαριάμ, σκέπε από πάσης επηρείας, των Μοναστών και Μιγάδων το σύστημα.

Ωδή γ’. Ουρανίας αψίδος.

Ως φωτός θείου πλήρης, σκότους παθών λύτρωσαι, ταις σαις φωτοφόροις πρεσβείαις, Πάτερ Γρηγόριε, Θεσσαλονίκης φωστήρ, τους ευλαβώς προσιόντας, τη θερμή πρεσβεία σου, και σε γεραίροντας.

Νόσου πάσης και βλάβης, και πειρασμών ρύσασθε, συν τω Γαβριήλ τω Οσίω, Πάτερ Γερόντιε, και ο Γεννάδιος, Βατοπαιδίου το κλέος, τους πιστώς γεραίροντας, υμών την άσκησιν.

Λαμπρυνθείς τη καρδία θείω φωτί Όσιε, λύσον των παθών την ομίχλην, ημών Γεώργιε, και φόβω κρείττονι, ώ Γερμανέ θεοφόρε, τας καρδίας τείχισον, ημών δεόμεθα.

Οσιότητα βίου, καρποφορείν δίδοσθε, δύναμιν ημίν ουρανίαν, Οσιομάρτυρες, μάκαρ Γεράσιμε, συν τω κλεινώ Γενναδίω, Γεδεών μακάριε, καθικετεύομεν.

Θεοτοκίον.

Γεηρών φρονημάτων, και εμπαθούς έξεως, και χαμαιπετών νοημάτων, του πολεμήτορος, ημάς απάλλαξον, Θεογεννήτορ, Μαρία, τους υπό την σκέπην σου, πίστει προστρέχοντας.

Διάσωσον πληθύς Οσίων του Άθω ηγιασμένη, από πάσης επιφοράς και κακώσεως, τους προσιόντας τη θεία υμών πρεσβεία.

Επίβλεψον εν ευμενεία…

Αίτησις και το Κάθισμα.

Ήχος β’. Πρεσβεία θερμή.

Προστάται ημών, και έφοροι υπάρχοντες, Οσίων χορός, του Άθω καλλωπίσματα, απαύστως προστατεύετε, των τιμώντων υμών τα παλαίσματα, και δυσωπείτε Χριστόν εκτενώς, διδόναι ημίν πταισμάτων άφεσιν.

Ωδή δ’. Εισακήκοα Κύριε.

Εκ κινδύνων λυτρώσασθε, Παλαμά Γρηγόριε τας ψυχάς ημών, και Δομέστικε Γρηγόριε, και Μονής δομήτωρ ο Γρηγόριος.

Λύσιν αίτει Γρηγόριε, συν τω Γερασίμω Δαμιανέ Δαβίδ, πειρασμών ημίν και θλίψεων, και Δαμιανός ο θεοφόρητος.

Ιερέ Διονύσιε, της Μονής Προδρόμου δομήτορ ένθεε, και ο Ρήτωρ Διονύσιος, συν τω Δομετίω ημάς σκέπετε.

Θεοτοκίον.

Τον απόλεκτον κλήρόν σου, Κεχαριτωμένη Όρος του Άθωνος, ασινή απαύστως φύλαττε, εξ επηρειών του πολεμήτορος.

Ωδή ε’. Φώτισον ημάς.

Άνωθεν ημίν, Ιβηρίτα Διονύσιε, και της Λαύρας ο κλεινός Δαμασκηνός, μη ελλίπητε παρέχοντες τα κρείττονα.

Ίλεων ημίν, ώ Ευθύμιε μακάριε, Ευθυμίοις συν τρισί και τω κλεινώ Ευδοκίμω τον Σωτήρα απεργάσασθε.

Στόμα ιερόν, Θεοδόσιε Πατήρ ημών, και Θεόληπτε και θείε Θεωνά, τας δεήσεις ευμενώς ημών προσδέξασθε.

Θεοτοκίον.

Μήτερ του Θεού, Θεοτόκε Αειπάρθενε, την νοσούσάν μου θεράπευσον ψυχήν, και τω θείω με κατεύθυνον θελήματι.

Ωδή στ’. Την δέησιν.

Σοφία, πνευματική διαλάμψας, του δολίου τας πικράς σοφιστείας, τας καθ’ ημών διασκέδασον Πάτερ, ταις σαις πρεσβείαις Νικόδημε Όσιε, Αγίου Όρους καλλονή, Μοναζόντων ο θείος διδάσκαλος.

Εκ πάσης, επιβουλής του δολίου, ώ Θεόφιλε σοφέ Μυροβλύτα, και Ιωάννη Ιβήρων δομήτορ, συν Κουκουζέλη οι δύο Ιάκωβοι, λυτρούσθε πάντοτε ημάς, τους τη σκέπη υμών καταφεύγοντας.

Συνόντες, των Ασωμάτων τοις δήμοις, Ιωσήφ και Ιλαρίων ο θείος, συν Ιγνατίω ομού Ιωάσαφ, υπέρ ημών συν αυτοίς ικετεύσατε, Οσιομάρτυρες Χριστού, τον Δεσπότην των όλων και Κύριον.

Ως θείον, ώ Ιερόθεε σκεύος, συν Καλλίστω τω κλεινώ Ιεράρχη, και της Ζωγράφου Κοσμά ο κοσμήτωρ, και Αποστόλων Κοσμά ο ομόζηλος, βίον ανύειν ιερόν, τους

τιμώντας υμάς ενισχύσατε.

Θεοτοκίον.

Ζωής με, της εναρέτου Παρθένε, γεωργείν τας ιεράς επιδόσεις, τη ση προνοία δυνάμωσον Κόρη, ως αν ζωής αιωνίου και κρείττονος, αξιωθώ ο προς την σην, καταφεύγων εν πίστει αντίληψιν.

Διάσωσον πληθύς Οσίων του Άθω ηγιασμένη, από πάσης επιφοράς και κακώσεως, τους προσιόντας τη θεία υμών πρεσβεία.

Άχραντε η δια λόγου...

Αίτησις και το Κοντάκιον.

Ήχος β’. Τοις των αιμάτων σου.

Η των Οσίων Πατέρων ομήγυρις, η τον περίβλεπτον Άθω λαμπρύνασα, εχθρού του ζοφώδους τα βέλεμνα, τα καθ’ ημών θεοφόροι αμβλύνατε, αιτούμενοι πάσι θείον έλεος.

Προκείμενον.

Καυχήσονται Όσιοι εν δόξη και αγαλλιάσονται επί των κοιτών αυτών.

Στίχ. Θαυμαστός ο Θεός εν τοις Αγίοις αυτού.

Ευαγγέλιον. Εκ του κατά Ματθαίον.

Είπεν ο Κύριος τοις εαυτού Μαθηταίς˙ Πάντα μοι παρεδόθη υπό του Πατρός μου˙ και ουδείς επιγινώσκει τον Υιόν, ειμή ο Πατήρ˙ ουδέ τον Πατέρα τις επιγινώσκει, ειμή ο Υιός, και ώ εάν βούληται ο Υιός αποκαλύψαι. Δεύτε προς με πάντες οι κοπιώντες και πεφορτισμένοι, καγώ αναπαύσω υμάς. Άρατε τον ζυγόν μου εφ΄ υμάς, και μάθετε απ’ εμού, ότι πράος ειμί και ταπεινός τη καρδία˙ και ευρήσετε ανάπαυσιν ταις ψυχαίς υμών. Ο γαρ ζυγός μου χρηστός, και το φορτίον μου ελαφρόν εστίν.

Δόξα. Ταις των σων Οσίων...

Και νυν. Ταις της Θεοτόκου...

Προσόμοιον.

Ήχος πλ. β’. Όλην αποθέμενοι.

Στίχ. Ελέησόν με ο Θεός κατά το μέγα έλεός σου…

Όμιλε θεόλεκτε, των εν τω Άθω Πατέρων, Ιεράρχαι πάνσοφοι, και Οσιομάρτυρες οι Θεόφρονες, Ασκηταί Όσιοι, και λοιπή χορεία, ανωνύμων παμμακάριστε, αεί πρεσβεύετε, τω Δημιουργώ πάσης κτίσεως, διδόναι ημίν άφεσιν, των αμαρτημάτων ών πράττομεν, και παθών την λύσιν, και ίασιν σωμάτων και ψυχών, τοις ευλαβώς μακαρίζουσιν, υμών τα παλαίσματα.

Ο Ιερεύς Σώσον ο Θεός τον λαόν σου…

Ωδή ζ’. Οι εκ της Ιουδαίας.

Ο Κοσμάς ο θεόφρων, και Κυπριανός τε και θείος Κωνστάντιος, Νικόδημος ο πάνυ, Μακάριός τε άμα, και Λουκάς ο στερρόψυχος, ρύσασθε πάντας ημάς, πικρών πειρατηρίων.

Ισχύν δίδοσθε θείαν, ώ Λεόντιε θείε και Πάτερ Μάξιμε Μητρόφανες θεόφρον, Νήφων Αρχιεράρχα, και Νικόδημε Όσιε, συν Νεοφύτοις δυσίν, ημίν εκδυσωπούμεν.

Συνοχής ψυχοφθόρου, ώ Νικήτα Νικόδημε και Νεκτάριε, Νεκτάριος ο άλλος, ο θεοφόρος Νήφων, και ο Νείλος ο Όσιος, απολυτρούσθε ημάς, υμών ταις ικεσίαις.

Θεοτοκίον.

Γενού σκέπη και τείχος, τοις προς σε αφορώσι θερμής εκ πίστεως, Παρθένε Θεοτόκε, εχθρού του αοράτου, την ορμήν αποτρέπουσα, και την γαλήνην την σην, ημίν αεί διδούσα.

Ωδή η’. Τον Βασιλέα.

Έλλαμψιν θείαν, ώ Νικηφόρε εξαίτει, και Ονούφριε και θεοφόρε Παύλε, συν ετέρω Παύλω, ημίν παρά Κυρίου.

Ρύσασθε πόνων, Πέτρε Οσίων ακρότης, και Παχώμιε ομού συν Προκοπίω Ρωμανέ θεόφρον, ημάς εκ κατωδύνων.

Άγιον βίον, Σάββα Χριστού Ιεράρχα, Συμεών σοφέ και Συμεών ο άλλος, Σίμων Μυροβλύτα, δίδοσθε εν αγάπη.

Θεοτοκίον.

Σύντριψον Κόρη, την καθ’ ημών δυναστείαν, του αλάστορος τη κραταιά σου σκέπη, και παράσχου πάσι, χαράν την ουράνιαν.

Ωδή θ’. Κυρίως Θεοτόκον.

Ιλύος αμαρτίας, Σωφρόνιε και Σάββα, συν άλλω Σάββα ομού και Τιμόθεε, συν τοις δυσί Φιλοθέοις ημάς καθάρατε.

Μη παύσησθε Πατέρες, Άθω οι αστέρες, γνωστοί ομού και ανώνυμοι άπαντες, υπέρ ημών δυσωπούντες Χριστόν τον εύσπλαγχνον.

Οι φίλοι του Κυρίου, Όσιοι Πατέρες, εκ της φιλίας του κόσμου λυτρώσασθε, τους την αγίαν τιμώντας υμών συνέλευσιν.

Θεοτοκίον.

Υπέρτερον τον νουν μου, δείξον Θεοτόκε, των εν τω κόσμω φροντίδων και θλίψεων, και του Κυρίου τω φόβω αυτόν καθήλωσον.

Το Άξιόν εστι και τα Μεγαλυνάρια.

Χαίροις των Οσίων θεία πληθύς, Άθω οι πολίται, οι ισάγγελοι εν σαρκί, οι εν διαφόροις, εκλάμψαντες τοις χρόνοις, γνωστοί συν ανωνύμοις, πόνοις ασκήσεως.

Χαίρετε του Άθω καθηγηταί, θείοι Ιεράρχαι, και θεόφρονες Ασκηταί, στίφος των Οσίων, και Οσιομαρτύρων, ζωής της εναρέτου, γνώμονες έμπρακτοι.

Δάκρυσι και πόνοις ασκητικοίς, και θείοις ιδρώσιν, ηγιάσατε αληθώς, άπαντα τον Άθω, Πατέρες θεοφόροι, και ώφθητε δοχεία, του θείου Πνεύματος.

Άπασαν την δύναμιν του εχθρού, Όσιοι Πατέρες, καθελόντες ασκητικώς, αυτουργοί θαυμάτων, εδείχθητε εν κόσμω, ψυχών και των σωμάτων, πάθη ιώμενοι.

Άνθη πανευώδη και μυστικά, αρετών οσίων, ώ Πατέρες θεοειδείς, θεία ευωδία, ζωής της μακαρίας, εκ σχέσεως δυσώδους, ημάς λυτρώσασθε.

Τους υμάς τιμώντας πανευλαβώς, Όσιοι Πατέρες, εκ κινδύνων και πειρασμών, ασινείς τηρείτε, υμών ταις προστασίαις, και άπασιν αιτείσθε, το θείον έλεος.

Πάσαι των Αγγέλων…

Το Τρισάγιον, τα συνήθη τροπάρια, εκτενής και Απόλυσις

μεθ’ ήν το εξής:

Ήχος β’. Ότε εκ του ξύλου.

Στίφος των Οσίων Ασκητών, και Ιεραρχών μακαρίων, Ησυχαστών ιερών, Οσιομαρτύρων τε θείε κατάλογε, οι εν Άθω εκλάμψαντες, χρόνοις διαφόροις, και Χριστόν δοξάσαντες, πόνοις ασκήσεως, πάσης δυσχερείας και βλάβης, και πολυειδών συμπτωμάτων, ασινείς τηρείτε ημάς πάντοτε.

Δέσποινα πρόσδεξαι…

Την πάσαν ελπίδα μου…

Δίστιχον.

Πληθύς θεοδόξαστε Οσίων Άθω

Γεράσιμον ρύσασθε πάσης ανάγκης.

ΑΠΟΛΥΤΙΚΙΟΝ

Των Οσίων. Ήχος Α’.

Της ερήμου πολίτης

Τους του Άθω Πατέρας, και Αγγέλους εν σώματι, Ομολογητάς και Οσίους, Ιεράρχας και Μάρτυρας, τιμήσωμεν εν ύμνοις και ωδαίς, μιμούμενοι αυτών τας αρετάς, η του Όρους πληθύς πάσα των Μοναστών, κραυγάζοντες ομοφώνως. Δόξα τω στεφανώσαντι υμάς˙ δόξα τω αγιάσαντι˙ δόξα τω εν κινδύνοις ημών, προστάτας δείξαντι.

ΚΟΝΤΑΚΙΟΝ

Ήχος Δ’. Ο υψωθείς εν τω Σταυρώ.

Τους ουρανώσαντας το Όρος Πατέρας, και υποδείξαντας εν τούτω τον βίον, Αγγέλων πολιτεύεσθαι και πλήθη Μοναχών, εν αυτώ συνάξαντας, ανευφημήσωμεν πάντες, προς αυτούς κραυγάζοντες˙ από πάσης ανάγκης, και επηρείας ρύσασθε ημάς, πληθύς Οσίων, του Άθω το καύχημα.

ΜΕΓΑΛΥΝΑΡΙΟΝ.

Τους του Όρους Άθω καθηγητάς, Μοναστάς, Μιγάδας, Ιεράρχας και Αθλητάς,

ομολογητάς τε, Ποιμένας και Οσίους, των Μοναστών τα πλήθη, ύμνοις τιμήσωμεν.

*Η/Υ επιμέλεια, Σοφίας Μερκούρη.*

**Πηγή:** fdathanasiou.wordpress.com